eul_wid: tyc-bi

*Ζώσιμος ὁ Πανοπολίτης* · Zosimus of Panopolis

# On the Preparation of Ochre

*Περὶ σκευασίας ὤχρας*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

2.187 ΠΕΡΙ ΣΚΕΥΑΣΙΑΣ ΩΧΡΑΣ Σκευασία ὤχρας γίνεται ἐν τῷ ὄρει τῆς Ἁδριανοῦ πλαγίας λεγομένης. Ἐκεῖ λακήματα τοῦ ὄρους· καὶ διὰ τῶν ῥαγάδων θεωρήσεις ζώνας ὤχρας πλακώδεις. Γίνεται δὲ καὶ εἰς Βαβυλωνίαν εἰς τὸ ὄρος. Θεωρεῖς διὰ τῶν ῥαγάδων· ἀρῶνται καὶ ὀπτῶσιν, καὶ γίνε ται μίλτος, ὅντινα καὶ σινώπην καλοῦσιν. Ἡμεῖς δὲ οὐδὲ αὐτῇ τῇ ὤχρᾳ χρώμεθα, οὐδὲ ταύτῃ τῇ σινώπῃ, ἀλλὰ ὤχρα μὲν ἡ ἀληθὴς .

2.187 βαφὴ ἔσται· πλὴν τὸ προκείμενον ἤτοι σῶμα μαγνησίας, ἤτοι μέλας μόλυβδος. Καὶ οἵαν τάξιν λέγουσιν χωρὶς τῶν βαφικῶν, περὶ αὐτῆς λέγουσιν πᾶσαι αἱ γραφαί. Εἴ ποτε οὖν ἀναγιγνώσκεις οἱανδήποτε τάξιν, ἐν τούτῳ τοίνυν ἔχε, καὶ θηράσεις πρᾶγμα τὸ ζητούμενον, μάλιστα ἐὰν Μαρίᾳ καὶ τῷ φιλοσόφῳ ἀκολουθήσῃς. Καὶ γὰρ πυρίτας, κιννάβαριν ὁ φιλόσοφος, ἢ κλαυδιανὸν, ἢ καδμίαν, ἢ ἀνδροδάμαντα, ἢ χρυσόκολλαν· ἢ ὅτι δεῖ ὑπὸ τὸν μολυβδόχαλκον, κιννάβαριν, σῶμα μαγνησίας ὃ λέγεται μέλας μόλυβδος. Κἄν τε πάλιν ἐν τῇ χρυσο ποιΐᾳ ἀπέλθῃς καὶ εὑρήσῃς αὐτὰ κασσίτερον σκορπίζοντα ἢ σίδηρον ἢ χαλκὸν κιννάβαριν ὄντα, ἢ λιθάργυρον λευκὴν, σὺ πάλιν τὸ σὸν νόει, τῇ μαγνησίᾳ τὸν μολυβδόχαλκον ἢ μόλυβδον τὸν μολυβδόχαλκον. Κἂν γὰρ ἀργυροποιΐαν λέγουσιν, ἢ χρυσοποιΐαν περὶ τοῦ μολυβδοχάλκου λέγουσιν· ὅπερ ἀπαρτίσαντες ἔχουσιν ἀπο κείμενον· καὶ ὅτε θέλουσιν, σκορπίσαντες πήσσουσιν· καὶ τότε λευκαίνουσιν ἢ ξάνθουσιν ἄρρευστον αὐτοῖς. Λευκαίνουσι δὲ θεῖον, καὶ λειώσαντες ἔχουσιν εἰς τὰ ἑπόμενα τοῦ ἀποτελέσματος· ταύτην τὴν μετὰ θείου καὶ ὑδραργύρου καλοῦσιν καῦσιν· καὶ χαλκὸν κεκαυμένον τὸν αὐτὸν, ὡς καὶ λεύκωσιν αἰμω πὸν, κατὰ τὴν ἐπιφάνειαν, καὶ κατὰ τὸ βάθος ἔχων εὑρίσκεται. Τοῦτο οὖν λέγουσι καῦσιν· διὰ δὲ τούτου τὸ ὅλον σύνθεμα αἰνιττόμενος, τὰς εἰς ἀμφοῖν αὐτοῦ λειώσεις ἐμήνυσεν, ὀρθῇ ὁδῷ χρησάμενος, πρῶ τον τὸ λευκαίνειν εἴρηκεν, ἔπειτα τὸ ξανθῶσαι.